II sac Tebtynis

r

,msupε
msupεπ̣.̣.̣.̣ [- - -]
Πτολεμαίωι οἰκονόμωι
παρὰ Σενή̣σ̣εως τῆς Μενε-
λάου τῶν κατ[οι]κουσῶν ἐν Ὀξυ-
ρύγχοις τῆ[ς Πολέ]μωνος μερίδος.
συνούσης μ[ο]υ Διδύμωι
Πετειμ[ο]ύθου τῶν ἐκ τῆς αὐτῆς
κώμης [κα]τ̣ὰ̣ συγγραφὴν Αἰγυ-
πτίαν τ[ροφ]ῖτιν ἀργυρίου
χρυσῶν [.̣ ]α κατὰ τοὺς τῆς
χώρας νό[μο]υς, καὶ πρὸς ταῦτα
καὶ τὴ̣[ν τρο]φήν μου ὑπο-
κειμ[ένω]ν̣ τῶν ὑπαρχόντων
αὐτ[ῶι πά]ν̣των, ἐν οἷς καὶ οἰκίας
ἐν τῆι προγεγραμμένηι κώμηι,
ὁ ἐγκαλούμενος βουλόμενός με
ἀποστερέσαι ἕως μὲν προσ-
πορευόμενος ἑνὶ καὶ ἑκάστωι
τῶν ἐκ τῆς αὐτῆς κώμης
ἠβούλετο αὐτὴν ἐξαλλοτριῶσαι,
τούτων δὲ οὐχ ὑπομενόντων
ἕνεκα̣ ̣τ̣ο̣ῦ̣ μὴ̣ σ̣υνεπικελεύ-
ε̣ι̣ν̣ ̣ἐ̣μέ, μετὰ ταῦτα ἐξείργασται
τοῦ δοῦναι ἐν διεγγυήματι
ὑπὲρ Ἡρακλείδου τελώνου
εἰς τὸ βασιλικόν, καὶ κατὰ τοῦτο
οἴεται ἐκκλ̣.̣ ̣ε̣ίειν με τῶν δικαίων.
διὸ ἀξιῶ σε δεομένη γυνὴ οὖσα
καὶ ἀβοηθητον μὴ ὑπεριδεῖν με
ἀποστερηθεῖσαν τῶν ὑποκειμένων
πρὸς τὴν φερνὴν διὰ τὴν τοῦ
ἐγκαλουμένου ῥ̣α̣διουργίαν ἀλλ’, ἐὰν
φαίνηται, συντάξαι γράψαι Πτ[ολε-]
μαίωι τῶι ἐπιμελητῆι μὴ π[ροσ-]
δέχεσθαι τὴν Διδύμου τοῦ [δη-]
λ̣ο̣υμένου οἰ̣κίαν ἐ̣ν̣ διεγγυή[ματι].
το̣ύ̣τ̣ο̣υ̣ δ̣ὲ̣ ̣γ̣ε̣ν̣ο̣μ̣έ̣[νου τε]ύ̣ξο[μαι τῆς]
παρὰ σοῦ βοηθείας.
[εὐτύχει].
Traces 6 lines
00(ἔτους) ̣ε̣ (?) Παῦνι ̣ι̣δ̣.
v

- - -
Apparatus

^ r.26. l. ἐκκλείειν
^ r.28. l. ἀβοήθητος